τοῦ ἀπιέναι, πλὴν περὶ κλήρου καὶ ἐπικλήρου, κἄν τινι κατὰ
τὸ γένος ἱερωσύνη γένηται. διεξελθόντων δὲ τῶν δυεῖν
ἐτῶν ἤδη μετὰ τῶν ἄλλων εἰσίν.

43 Τὰ μὲν οὖν περὶ τὴν τῶν πολιτῶν ἐγγραφὴν καὶ τοὺς
ἐφήβους τοῦτον ἔχει τὸν τρόπον. τὰς δ' ἀρχὰς τὰς περὶ
τὴν ἐγκύκλιον διοίκησιν ἁπάσας ποιοῦσι κληρωτὰς πλὴν
ταμίου στρατιωτικῶν καὶ τῶν ἐπὶ τὸ θεωρικὸν καὶ τοῦ τῶν
κρηνῶν ἐπιμελητοῦ. ταύτας δὲ χειροτονοῦσιν, καὶ οἱ
χειροτονηθέντες ἄρχουσιν ἐκ Παναθηναίων εἰς Παναθήναια.
χειροτονοῦσι δὲ καὶ τὰς πρὸς τὸν πόλεμον ἁπάσας.

2 Βουλὴ δὲ κληροῦται φ̄, ν̄ ἀπὸ φυλῆς ἑκάστης. πρυτανεύει
δ' ἐν μέρει τῶν φυλῶν ἑκάστη καθ' ὅ τι ἂν λάχωσιν, αἱ μὲν
πρῶται τέτταρες ἓξ καὶ λ̄ ἡμέρας ἑκάστη, αἱ δὲ ϛ̄ αἱ ὕστεραι
ε̄ καὶ λ̄ ἡμέρας ἑκάστη· κατὰ σελήνην γὰρ ἄγουσιν τὸν
3 ἐνιαυτόν. οἱ δὲ πρυτανεύοντες αὐτῶν πρῶτον μὲν συσσι-
τοῦσιν ἐν τῇ θόλῳ, λαμβάνοντες ἀργύριον παρὰ τῆς πόλεως,
ἔπειτα συνάγουσιν καὶ τὴν βουλὴν καὶ τὸν δῆμον· τὴν μὲν
οὖν βουλὴν ὅσαι ἡμέραι, πλὴν ἐάν τις ἀφέσιμος ᾖ, τὸν δὲ
δῆμον τετράκις τῆς πρυτανείας ἑκάστης. καὶ ὅσα δεῖ
χρηματίζειν τὴν βουλὴν καὶ ὅ τι ἐν ἑκάστῃ τῇ ἡμέρᾳ καὶ
4 ὅπου καθίζειν οὗτοι προγράφουσι. προγράφουσι δὲ καὶ τὰς
ἐκκλησίας οὗτοι· μίαν μὲν κυρίαν ἐν ᾗ δεῖ τὰς ἀρχὰς
ἐπιχειροτονεῖν εἰ δοκοῦσι καλῶς ἄρχειν, καὶ περὶ σίτου καὶ
περὶ φυλακῆς τῆς χώρας χρηματίζειν, καὶ τὰς εἰσαγγελίας ἐν
ταύτῃ τῇ ἡμέρᾳ τοὺς βουλομένους ποιεῖσθαι, καὶ τὰς ἀπο-
γραφὰς τῶν δημευομένων ἀναγιγνώσκειν καὶ τὰς λήξεις τῶν
κλήρων καὶ τῶν ἐπικλήρων [[ἀναγινώσκειν]], ὅπως μηδένα
5 λάθῃ μηδὲν ἔρημον γενόμενον. ἐπὶ δὲ τῆς ἕκτης πρυτανείας